Badische Landesbibliothek Karlsruhe

Digitale Sammlung der Badischen Landesbibliothek Karlsruhe

# Oracvla Metrica Iovis, Apollinis, Hecates, Serapidis, Et Aliorvm deorum ac vatum tam virorum quam feminarum

Opsopäus, Johannes

Parisiis, 1599

[Text]

urn:nbn:de:bsz:31-248498

Visual Library

# TESTIMONIA ALIQVOT DE ORACVLIS GRÆCORVM.

Neq; enim omnia quæ ſparſim apud auctores veteres occurrũt, tibi lector obtrudere & bonitate tua abuti decreui. Singula oracula ſingulos tractatus requirerent. Cõſcripſerat è Gręcis Philemon Athenięſis op⁹ περὶ πολυποδαπῶν χρηστηρίων, Oenomaus philoſophus de vanitate oraculorũ, Porphyrius περὶ τῆς ἐκ λογίων φιλοσοφίας: è Latinis Cornelius Labeo librum cui titulũ fecit, de oraculo Apollinis Clarij. Sed hos omnes hactenus ſaltem deſiderare licuit. Erit forſan qui aut aliquem ex illis nobis aliquando proferat, aut ſimile argumentum bono publico elaboratum impertiatur.

## HERODOTVS CLEIO.

Μετὰ τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν Ἕλλησι, καὶ τοῦ ἐν Λιβύῃ, διαπέμψας ἄλλους ἄλλῃ, τοὺς μὲν ἐς Δελφοὺς ἰέναι, τοὺς δὲ ἐς Ἄβας [*vitioſe vulgo* Σάβας] τῶν Φωκέων, τοὺς δὲ ἐς Δωδώνην. οἱ δέ τινες ἐπέμποντο παρά τε Ἀμφιάρεων καὶ παρὰ Τροφώνιον· οἱ δὲ, τῆς Μιλησίης ἐς Βραγχίδας. Ταῦτα μὲν νυν τὰ Ἑλληνικὰ μαντήια, ἐς τὰ ἀπέπεμψε

μαντευσόμενος Κροῖσος· Λιβύης δὲ περὶ Ἄμμωνα ἀπέστειλε ἄλλους χρησομένους.

## Stephanus in Τέγυρα.

Καλλισθένης ἐν τρίτῳ τῶν Ἑλληνικῶν, ἔστι μαντεῖά φησι τὸ μὲν Ἰσμήνιον ἐν Θήβαις, τὸ δὲ Τροφώνιον ἐν Λεβαδίᾳ, τὸ δ' ἐν Ἄβαις λεγόμενον ἐν Φωκεῦσι· τὸ δὲ κυριώτερον ἐν Δελφοῖς, ὃ καὶ μάλιστά φασι μεμαρτυρηκέναι τὴν ἐν Τεγύρᾳ.

## Idem in Εὔτρησις.

Ἐκλήθη δὲ Εὔτρησις, διὰ τὸ πολλαῖς αὐτὴν πρότερον χρήσασθαι ῥύμαις, ὡς Ἐπαφρόδιτος. ὁ κωμήτης, Εὐτρησίτης· ἀφ' οὗ Ἀπόλλων Εὐτρησίτης· καὶ ἱερὸν αὐτοῦ, καὶ μαντεῖον ἐνδοξότατον.

## Strabo lib. XVI.

Καὶ οἵ γε ἀρχαῖοι τὸ περὶ τὴν θεὸν ἐπρέσβευον μᾶλλον καὶ ἐσέμνυνον, καὶ διὰ τοῦτο καὶ ὁ χρηστηριαζόμενος ἦν τότε πολὺς, καὶ τρέχων εἰς μὲν Δωδώνην, ὅπως

Ἐκ δρυὸς ὑψικόμοιο Διὸς βουλὴν ὑπακούσῃ,

συμβούλῳ τῷ Διῒ χρώμενος· εἰς δὲ Δελφοὺς τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν

Εἰ μηκέτ' εἴη. ---------- αὐτὸς δ' ὁ παῖς
Ἔστειχε τοὺς τεκόντας ἐκμαθεῖν θέλων
Πρὸς δῶμα Φοίβου.

## Suidas.

Ὁ Ἀπόλλων ὁ προφήτης ἐστὶ τοῦ πατρὸς, καὶ παρ' ἐκείνου λαμβάνει τὰς μαντείας, καὶ τοῖς ἀνθρώποις ἐκφέρει.

## Clemens Alex. προτρεπτικῷ λόγῳ.

Ἄδυτα τοίνυν ἄθεα μὴ πολυπραγμονεῖτε, μηδὲ βαράθρων στόματα τερατείας ἔμπλεα, ἢ λέβητα Θεσπρώτιον, ἢ τρίποδα Κιρραῖον, ἢ Δωδωναῖον χαλκεῖον. Γεράνδρυον δὲ ψάμμοις ἐρήμαις τετιμημένον, καὶ τὸ αὐτόθι μαντεῖον αὐτῇ δρυῒ μεμαρασμένον, μύθοις γεγηρακόσι καταλείψατε. σεσίγηται γοῦν καὶ ἡ Κασταλίας πηγὴ, καὶ Κολοφῶνος ἄλλη πηγὴ, καὶ τὰ ἄλλα ὁμοίως τέθνηκε νάματα μαντικά· καὶ δὴ τοῦ τύφου κενὰ ὀψὲ μὲν· ὅμως δ' οὖν διελήλεγκται, τοῖς ἰδίοις συνεκρεύσαντα μύθοις. διήγησαι ἡμῖν καὶ τῆς ἄλλης μαντικῆς, μᾶλλον δὲ μανικῆς, τὰ ἄχρηστα χρηστήρια· τὸν Κλάριον, τὸν Πύθιον, τὸν Διδυμέα, τὸν Ἀμφιέρεω, τὸν Ἀπόλλω, τὸν Ἀμφίλοχον· εἰ δὲ βούλει, καὶ τερατοσκόπους καὶ οἰωνοσκόπους, καὶ τοὺς ὀνείρων κριτὰς τοὺς ἀνιέρους σὺν αὐτοῖς. στῆσον δὲ ὁμοῦ, παρὰ τὸν Πύθιον, τοὺς ἀλευρομάντεις ἄγων καὶ κριθομάντεις καὶ τοὺς ἔτι παρὰ τοῖς πολλοῖς τετιμημένους ἐγγαστριμύθους. ναὶ μὴν, ἄδυτα Αἰγυπτίων, καὶ Τυρρηνῶν νεκυομαντεῖαι, σκότει παραδεδόσθων. μανικὰ ταῦτα ὡς ἀληθῶς ἀνθρώπων ἀπίστων σοφιστήρια καὶ πλάνης ἀκράτου κυβευτήρια.